πυρίζεσθαι τὴν γῆν ἔδει καὶ τὰ ἐπ᾽ αὐτῆς πάντα {πρα} πράγματα. τὴν οὖν ἀπόφασιν ὁρῶμεν αὐτοῦ ταπεινήν, ἀλλ᾽ ὀχὶ αὐτόν. πλ⟨ὴ⟩ν τοῦτο μὲν παρενβεβλήσθω. περὶ δ᾽ ἀνατολῶν ἤδη λέγωμεν καὶ δύσεων καὶ τῶν

col. III

ἐφεξῆς, ἐκεῖνο προθέντες, ὅτι τὸν ζητοῦντά τι περὶ τῶν ἀδήλων, ἂν βλέπη τοὺς τοῦ δυνατοῦ τρόπους πλείονας, περὶ τοῦδέ τινος μόνου τολμηρὸν καταποφαίνεσθαι. μάντεως γὰρ μᾶλλόν ἐστιν τὸ τοιοῦτον ἢ ἀ⟨ν⟩δρὸς σοφοῦ· τὸ μέντοι λέγειν πάντας μὲν ἐνδεχομένους, πιθανώτερον δ᾽ εἶναι τόνδε τοῦδε ὀρθῶς ἔχει. ἐνδέχεται τοιγαροῦν τὸν ἥλιον ἀνθρακώ-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40390899X/25 UNIVERSITÄT LEIPZIG